eul_wid: crq-aa

*Θεάγης* · Theages

# On Virtue and the Soul

*Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Φιλοσοφική Ἀττική* Attic Philosophical
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πραγματεία* Treatise
**Affiliation:** Presocratic

190 (1t) Περὶ ἀρετῆς Stob. 3.1.117 p. 76 He. (Mullach 2 p. 18) Θεάγους Πυθαγορείου ἐκ τοῦ Περὶ ἀρετῆς. Ἀρχαὶ τᾶς συμπάσας ἀρετᾶς τρεῖς· γνῶσις καὶ δύναμις καὶ προαίρεσις. καὶ ἔστιν ἁ μὲν γνῶσις οἷον ὄψις ᾇ θεωροῦμεν καὶ κρίνομεν τὰ πράγματα, ἁ δὲ δύναμις οἷον ἀλκά τις τῶ σκάνιος ᾇ ὑφιστάμεθα καὶ ἐμμένομεν τοῖς πράγμασιν, ἁ δὲ προαίρεσις οἷον χεῖρες ψυχᾶς τινες αἷς ὁρμῶμεν καὶ ἀντιλαζύμεθα τῶν πραγμάτων. ἔχει δὲ καὶ ὁ τᾶς ψυχᾶς διάκοσμος οὕτως. τὸ μὲν γάρ τι αὐτᾶς ἐντι λογισμὸς τὸ δὲ θυμὸς τὸ δ' ἐπιθυμία, λογισμὸς μὲν ὁ κρατέων τᾶς γνώσιος, θυμὸς δὲ ὁ κρατέων τῶ μένεος, ἐπιθυμία δὲ ἁ κρατοῦσα τοῦ ἐπιθυμητικοῦ εἴδεος. ὄκκα οὖν ἐς τὸ ἓν τὰ τρία ταῦτα μόλῃ μίαν ἐπιδεξάμενα συναρμογάν, τόκα δὲ γίνεται ἀρετὰ καὶ ὁμολογία ἐν τᾷ ψυχᾷ· ὄκκα δὲ στασιάζοντα καὶ ἀπ' ἀλλάλων ἀπόσπαστα ᾖ, τόκα δὲ γίνεται κακία καὶ ἀναρμοστία ἐν τᾷ ψυχᾷ. καὶ ὄκκα μὲν ὁ λογισμὸς ἐπικρατέῃ τῶν ἀλόγων μερέων τᾶς ψυχᾶς, τόκα δὲ γίνεται καρτερία καὶ ἐγκράτεια, καρτερία μὲν ἐν τᾷ κατοχᾷ τῶν πόνων, ἐγκράτεια δὲ ἐν τᾷ κατοχᾷ τῶν ἁδέων. ὄκκα δὲ τὰ ἄλογα μέρεα τᾶς ψυχᾶς ἐπικρατῇ τῶ λογισμῶ, τόκα δὲ γίνεται μαλακία καὶ ἀκρατία· μαλακία μὲν ἐν τῷ φεύγειν τὼς πόνως, ἀκρατία δὲ ἐν τῷ νικῆσθαι ὑπὸ τῶν ἁδέων. ὄκκα δὲ τὸ μὲν κρεῖσσον ἄρχῃ μέρος τᾶς ψυχᾶς, τὸ δὲ χέρῃον ἄρχηται, καὶ τὸ μὲν ἁγῆται τὸ δ' ἕπηται, ἀμφότερα δὲ συνευδοκῆται καὶ συνομολογῆται ἀλλάλοις, τόκα δὲ γίνεται ἀρετὰ καὶ παναγαθία περὶ ὅλαν τὰν ψυχάν. καὶ ὄκκα μὲν τὸ ἐπιθυματικὸν ἕπηται μέρος τᾶς ψυχᾶς τῷ λογιστικῷ, γίνεται σωφροσύνα· ὄκκα δὲ τὸ θυμοειδές, ἀνδρειότας· ὄκκα δὲ τὰ μέρεα πάντα, δικαιότας. αὕτα γάρ ἐστιν ἁ διείργουσα τάς τε κακίας πάσας τᾶς ψυχᾶς καὶ τὰς ἀρετὰς ἀπ' ἀλλάλων. καὶ ἔστιν ἁ δικαιότας οἷον σύσταμά τι τᾶς ἁρμογᾶς τῶν μερέων τᾶς ψυχᾶς καὶ ἀρετὰ τελεία καὶ πανυπερτάτα· πάντα γὰρ ἐν ταύτᾳ· τὰ δ' ἄλλ' ἀγαθὰ τᾶς ψυχᾶς οὐκ ἄτερθε ταύτας.

191 διόπερ καὶ ἐν θεοῖς μέγα κράτος ἔχει ἁ δικαιότας καὶ ἐν ἀνθρώποις· τῶ γὰρ ὅλω καὶ τῶ παντὸς ἅδ' ἀρετὰ συνέχει τὰν κοινωνίαν καὶ τὰν ἐν θεοῖς καὶ τὰν ἐν ἀνθρώποις. θέμις γε οὖν φατίζεται παρὰ τοῖς οὐρανίοις θεοῖς, δίκα δὲ παρὰ τοῖς χθονίοις, νόμος δὲ παρὰ τοῖς ἀνθρώποις. ταῦτα δ' ἐντὶ σαμεῖα καὶ σύμβολα τοῦ τὰν δικαιότατα πανυπερτάταν εἶναι ἀρετάν. καὶ ἄλλως δὲ πιστοῦται ὁ λόγος ἐξ αὐτῶν· ὄκκα μὲν γὰρ ὁ νόος τᾶς ψυχᾶς ἀμβλακίσκῃ, ὀνυμάζεται ἁ τοιάδε διάθεσις ἀφροσύνα· ὄκκα δὲ ὁ θυμός, θρασύτας ἢ δειλία· ὄκκα δὲ ἐπιθυμία, ἀκρασία· καὶ ὄκκα μὲν ἐπὶ τὸ μῆον ἀμβλακίσκῃ ὁ νόος, ἀφροσύνα, ὄκκα δ' ἐπὶ τὸ μέζον,

πανουργία· καὶ ὅκκα μὲν ἐπὶ τὸ μῆον ἀμβλακίσκῃ ὁ θυμός, δειλία, ὅκκα δ' ἐπὶ τὸ μέζον, θράσος· καὶ ὅκκα μὲν ἐπὶ τὸ μεῖον ἀμβλακίσκῃ ἁ ἐπιθυμία, μισαδονία· ὅκκα δ' ἐπὶ τὸ μέζον, ἀκολασία· ὅλως δὲ ἁ μὲν οὐ κατ' ὀρθὸν λόγον συναρμογά, κακία· αὕτα δ' ὅκκα μὲν μηδενὸς ἕκατι γένηται, καλέεται ἀβελτερία· ὅκκα δὲ φόβω, δειλία, ὅκκα δὲ ἁδονᾶς, ἀκολασία, ὅκκα δὲ κέρδεος, ἀδικία. ἁ δὲ κατ' ὀρθὸν λόγον αὐτᾶς σύνταξις, ὅκκα μὲν ἐν τῷ θεωρὲν καὶ κρίνεν γένηται, καλέεται φρόνασις· ὅκκα δὲ ἐν τῷ ὑφίστασθαι ... τὰ ἁδέα, σαοφροσύνα· ὅκκα δ' ἐν τῷ κέρδεος ἀποσχέσθαι καὶ βλάβας τᾶς εἰς τὸν πλατίον, δικαιότας. ἁ δὲ κατὰ τὸν ὀρθὸν λόγον αὐτᾶς σύνταξις καὶ παρὰ τὸν ὀρθὸν λόγον παράβασις, τῶ δέοντός ἐστι στοχασμὸς καὶ τῶ μὴ δέοντος ἀπόπτωσις. ἔστι δὲ τὸ μὲν δέον, ὃ δεῖ ἦμεν· τοῦτο δὲ οὐκ ἀφαιρέσιος οὐδὲ προσθέσιος δέεται· αὐτὸ γάρ ἐστιν ὃ δεῖ ἦμεν. τῶ δὲ μὴ δέοντος εἴδεα δύο, τὸ μὲν ὑπερβολά, τὸ δ' ἔλλειψις. καὶ ἁ μὲν ὑπερβολὰ τὸ πλέον τῶ δέοντός ἐντι, ἁ δ' ἔλλειψις τὸ ἔλαττον. ἁ δ' ἀρετὰ ἕξις τίς ἐντι τῶ δέοντος· διόπερ καὶ ἀκρότας καὶ μεσότας εὐθέως ἐντί· ἀκρότας μέν, διότι τῶ δέοντος ἔχεται· μεσότας δέ, ὅτι μεταξὺ τᾶς ὑπερβολᾶς καὶ τᾶς ἐλλείψιός ἐντιν. οὕτως γὰρ καὶ μεσότατες τυγχάνοντι καὶ ἀκρότατες· μεσότατες μέν, ὅτι ἐκτὸς τᾶς ὑπερβολᾶς καὶ τᾶς ἐλλείψιος πίπτοντι· ἀκρότατες δέ, ὅτι οὔτε προσθέσιος οὔτ' ἀφαιρέσιος δέονται· αὐτὰ γὰρ ἐντὶ ταῦτα, ἃ δεῖ αὐτὰ ἦμεν.

192 Stob. 3.1.118 p. 81 He. (Mullach 2 p. 20) Ἐν ταὐτῷ. Ἐπεὶ δὲ ἁ τοῦ ἤθεος ἀρετὰ περὶ πάθεα, τῶν δὲ παθέων ἁδονὰ καὶ λύπα ὑπέρτατα, φανερὸν ὅτι οὐκ ἐν τῷ ὑπεξελέσθαι τὰ πάθεα τᾶς ψυχᾶς, ἁδονὰν καὶ λύπαν, ἁ ἀρετὰ πέπτωκεν, ἀλλ' ἐν τῷ ταῦτα συναρμόζεσθαι. οὐδὲ γὰρ ὑγίεια, εὐκρατία τις ἔασα τῶν τῶ σώματος δυναμίων, ἐν τῷ ὑπεξελέσθαι τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ ὑγρὸν καὶ τὸ ξηρὸν πέπτωκεν, ἀλλ' ἐν τῷ ταῦτα συγκερασθῆμεν· ἔντι γὰρ οἷον συμμετρία τις τούτων· οὐδ' ἐν τᾷ μουσικᾷ ἐν τῷ ὑπεξελέσθαι τὸ ὀξὺ καὶ τὸ βαρὺ τὸ σύμφωνον πέπτωκεν, ἀλλ' ἐν τῷ ταῦτά πως συναρμόξασθαι. συναρμοσμένων γὰρ τῶ ὀξέος καὶ τῶ βαρέος τὸ μὲν σύμφωνον ἐναπολαμβάνεται, τὸ δὲ διάφωνον ἐκκρούεται· συναρμοσμένων δὲ καὶ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ καὶ τοῦ ὑγροῦ καὶ τοῦ ξηροῦ ἁ μὲν ὑγίεια γίνεται, ἁ δὲ νόσος ἀπόλλυται· συναρμοσμένων δὲ καὶ τοῦ θυμοῦ καὶ τᾶς ἐπιθυμίας αἱ μὲν κακίαι καὶ τὰ πάθεα ἐξαιρέονται, αἱ δ' ἀρεταὶ καὶ τὰ ἤθεα ἐγγίγνονται. ἰδιαίτατον δὲ τᾶς τοῦ ἤθεος ἀρετᾶς ἁ προαίρεσις ἁ ἐν τοῖς καλοῖς. λόγῳ γὰρ καὶ δυνάμει συγχρέεσθαι δυνατὸν καὶ ἄνευ ἀρετᾶς, προαιρέσει δ' οὐ δυνατόν· τὸ γὰρ ἀξίωμα τοῦ ἤθεος ἁ προαίρεσις σαμαίνει. διὸ καὶ μετὰ βίας μὲν ἐπικρατέων ὁ λογισμὸς θυμοῦ καὶ ἐπιθυμίας ἐγκράτειαν καὶ καρτερίαν ἐμποιεῖ, μετὰ βίας δὲ πάλιν ἐκβιασθεὶς αὐτὸς ὑπὸ τῶ ἀλόγω, ἀκρασίαν καὶ μαλακίαν. ταὶ δὲ τοιαῦται διαθέσιες τᾶς ψυχᾶς ἡμιτελέες μὲν ἀρεταί, ἡμιτελέες δὲ κακίαι τυγχάνοντι. ὁ μὲν γὰρ λογισμὸς ὑγιαίνει, τὰ δ' ἄλογα μέρεα τᾶς ψυχᾶς νοσεῖ. καὶ καθὸ μὲν ἄρχεται καὶ ἄγεται ὁ θυμὸς καὶ ἁ ἐπιθυμία ὑπὸ τῶ λόγον ἔχοντος μέρεος τᾶς ψυχᾶς, ἁ ἐγκράτεια καὶ ἁ καρτερία ἀρεταὶ τυγχάνοντι, καθὸ δὲ μετὰ βίας ἀλλ' οὐχ ἑκουσίως τοῦτο πράσσοντι, κακίαι τυγχάνοντι. δεῖ γὰρ τὰν ἀρετὰν μὴ μετὰ λύπας ἀλλὰ μεθ' ἁδονᾶς τὰ δέοντα πράσσεν.

193 πάλιν δέ, καθὸ μὲν ἐπικρατεῖ ὁ θυμὸς καὶ ἁ ἐπιθυμία τῶ λογισμῶ, μαλακίαν καὶ ἀκρατίαν ἐπιφέροντα, κακίαι τινὲς τυγχάνοντι· καθὸ δὲ μετὰ λύπας χαρίζονται τοῖς πάθεσιν, εἰδότες ὅτι ἀμπλακίσκοντι τῶ ὑγιὲς εἶμεν τὸ ὄμμα τᾶς ψυχᾶς, ταύτᾳ δ' οὐ κακίαι. πάλιν ὦν αὐτό γε τοῦτο φανερόν, ὅτι ἑκουσίως δεῖ τὰν ἀρετὰν τὰ δέοντα πράσσεν. τὸ μὲν ἀκούσιον οὐκ ἄνευ λύπας καὶ φόβω· τὸ δ' ἑκούσιον οὐκ ἄνευ ἁδονᾶς καὶ φιλοφροσύνας. ἅμα δὲ καὶ ὁ λόγος ὁ τᾶς διαιρέσιος συμπέσοι κα περὶ τῶ ταῦθ' οὕτως ἔχεν. ἁ μὲν γὰρ γνῶσις καὶ ἁ ὅρασις τῶν πραγμάτων τῶ λόγον ἔχοντος μέρεος ἐντὶ τᾶς ψυχᾶς· ἁ δὲ δύναμις τῶ ἀλόγω. τὸ γὰρ ἀντέχεν μὲν δύνασθαι τοῖς πόνοις, ἐπικρατεῖν δὲ τᾶν ἁδονᾶν, οἰκεῖόν ἐντι τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς. ἁ δὲ προαίρεσις ἐν ἀμφοτέροις αὐτοῖς γίνεται, καὶ τῷ λόγον ἔχοντι μέρει τᾶς ψυχᾶς καὶ τῷ ἀλόγῳ·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σύγκειται γὰρ ἐκ διανοίας καὶ ὀρέξιος, ὧν ἁ μὲν διάνοια τῶ λόγον ἔχοντός ἐντι, ἁ δ’ ὄρεξις τῶ ἀλόγω. διὸ καὶ ἀρετὰ πᾶσα ἐν συναρμογᾷ γίνεται τῶν μερέων τᾶς ψυχᾶς, καὶ τὸ ἑκούσιον δὲ καὶ τὸ προαιρετὸν πάντως ἐν τᾷ ἀρετᾷ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org